# Α Κ Ο Λ Ο Υ Θ Ι Α

www.tezaurliturgic.ro

## ΤΩΝ ΑΓΙΩΝ ΕΝΔΟΞΩΝ ΑΥΤΑΔΕΛΦΩΝ ΠΑΡΘΕΝΟΜΑΡΤΥΡΩΝ
## ΜΗΝΟΔΩΡΑΣ-ΜΗΤΡΟΔΩΡΑΣ-ΝΥΜΦΟΔΩΡΑΣ

Ποίημα: Μον.ΓΕΡΑΣΙΜΟΥ ΜΙΚΡΑΓΙΑΝΝΑΝΙΤΟΥ

ΨΑΛΛΟΜΕΝΗ τήν Ι.´ ΣΕΠΤΕΜΒΡΙΟΥ

-.-.-.-.-.-.-

### ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ

Ἱστῶμεν Στίχους δ.´ καί ψάλλομεν Στιχηρά Προσόμοια.

Ἦχος α.´ Πανεύφημοι Μάρτυρες

Παρθένοι νεάνιδες σφοδρῷ εὐσεβείας ἔρωτι, μαρτυρικῶς ἠνδραγάθησαν, ἄνθος νεότητος, καί σώματος κάλλος, παρ᾽οὐδέν ἡγούμεναι καί θείας Βασιλείας ἐπέτυχον, ὡς ἀριστεύσασαι· Μηνοδώρα, Μητροδώρα τε, καί ἡ θεία, Νυμφοδώρα χαίρουσαι.

Φρονῆσαι ἐμπρέπουσα σεμνή καί ἀνδρεία πίστεως, τήν τοῦ τυράννου ὠμότητα, λαμπρῶς κατήσχυνας· τούς ξεσμούς γάρ Μάρτυς, ὡς τρυφάς λελόγισαι, τόν θάνατον ὡς ὕπνον δέ τίμιον, δι᾽οὗ ἀνέδραμες, πρός ζωήν τήν ἀτελεύτητον, Μηνοδώρα, καί δόξαν ἀμάραντον.

Τοῦ Ξύλου τυχεῖν τοῦ Ζωτικοῦ, Μητροδώρα ἔνδοξε, εφημενένη καί στέργουσα, έν ξύλῳ ὕψωσαι, καί τό εὐανθός σου, σῶμα ὡς ἀσώματος, μοχλούς τούς βαρυτάτους συνέτριψας, δι᾽ὅ προσήρμοσαι, τῷ Νυμφίῳ τελεώτερον, ὡς Παρθένος καί Μάρτυς ἀήττητος.

Ξεσθεῖσα τάς σάρκας ἀπηνῶς, Νυμφοδῶρα πάνσεμνε, τό τῆς νεκρώσεως ἔνδυμα εἰς γῆν ἀπέρριψας, καί ἀθανασίας, φωταυγές ἱμάτιον, ὡς Νύμφη ἐστολίσθης περίδοξος τοῦ Παντοκράτορος, οὗ τρυφῶσα τῆς ἐλλάμψεως, ἐκδυσώπει, ὑπέρ τῶν ψυχῶν ἡμῶν.

Δόξα... Ἦχος β.´

Τόν τρισάριθμον σύλλογον, τῶν αὐταδέλφων Παρθένων, ἀσματικῶς εὐφημήσωμεν, ὅτι δι᾽᾽Αθλητικῶν καμάτων, τῷ Ζωοδότῃ προσήχθησαν· θεοπρεπῆ γάρ πολιτείαν ἀσπασάμεναι, τοῖς οἰκείοις αἵμασιν, ἑαυτάς ἐπορφύρωσαν, ἐναντίον ἀσεβῶν, Χριστόν καταγγείλασαι. Αὐταῖς οὖν

www.tezaurliturgic.ro

προσείπωμεν· Παρθενομάρτυρες ἔνδοξοι, Μηνοδώρα, Μητροδώρα καί Νυμφοδώρα, τήν Παναγίαν ἱκετεύσατε Τριάδα, ἱλασμόν ἡμῖν δωρήσασθαι, καί τό μέγα ἔλεος.

Καί νῦν... Ἦχος Ὁ Αὐτός.

Δεῦτε Φιλοπάρθενοι πάντες, καί τῆς ἁγνείας ἐρασταί· δεῦτε ὑποδέξασθε πόθῳ, τῆς Παρθενίας τό καύχημα, ἐκ πέτρας βλυστάνουσαν στερρᾶς,τήν πηγήν τῆς Ζωῆς, καί ἐκ τῆς ἀτεκνούσης, τήν Βάτον τοῦ ἀΰλου πυρός, καί καθαίροντος καί φωτίζοντος τάς ψυχάς ἡμῶν.

ΑΠΟΣΤΙΧΑ. ΠΡΟΣΟΜΟΙΑ.

Ἦχος β΄ Οἶκος τοῦ Ἐφραθᾶ

Χαίροις Τρισοφεγγής, Μαρτύρων Αὐταδέλφων καί τρίπλοκε χορεία, Τριάδος τῆς Ἁγίας, παράστασις ἡ τρίστοιχος.

Στίχ. Μύρον ἐκκενωθέν ὄνομά σου,διά τοῦτο ἠγάπησάν σε Παρθένοι Νεάνιδες.

Μάρτυρες εὐκλεεῖς, Χριστοῦ τοῦ Βασιλέως, ἡρωϊκοῖς ἐν ἄθλοις, ἐδείχθητε ἐνθέως, Παρθένοι αἱ τρισάριθμοι.

Στίχ. Θαυμαστός ὁ Θεός ἐν τοῖς Ἁγίοις Αὐτοῦ.

Χάριτος δωρεᾶς, εἰς ὄμβρους οὐρανίους, διά παντός προρρέει, ὁ θεῖος ὑμῶν οἶκος, Μάρτυρες ἀεισέβαστοι.

Δόξα.......

Μίαν Τριαδικήν, οὐσίαν αἱ Παρθένοι, λαμπρῶς θεολογοῦσαι, πολύθεον ἀπάτην, εἰς τέλος κατηδάφισαν.

Καί νῦν.......

Νύμφη Σε τοῦ Θεοῦ, αἱ ἄμεμπτοι Παρθένοι, γινώσκουσαι Παρθένε, ὀπίσω Σου ἐν δόξῃ, τῷ Σῷ Υἱῷ προσήχθησαν.

Τό, Νῦν ἀπολύεις, τό Τρισάγιον καί

τό Ἀπολυτίκιον

www.tezaurliturgic.ro

Ἦχος πλ.α΄ Τόν Συνάναρχον Λόγον

Τόν τρισάριθμον σύλλογον καί θεόπλοκον· τῶν Αὐταδέλφων Παρθένων στέψωμεν θείαις ᾠδαῖς· ἀνδρικῶς γάρ τόν ἐχθρόν κατετροπώσαντο, ὅθεν προΐστανται ἡμῶν, τῶν βοώντων ἐκτενῶς· Χαῖρε σεμνή Μηνοδώρα σύν Μητροδώρα τῇ θείᾳ καί Νυμφοδώρα τῇ θεόφρονι.

Ἀ π ό λ υ σ ι ς

-.-.-.-.-

ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

Μετά τόν Προοιμιακόν, ἡ α΄ στάσις Μακάριος ἀνήρ. Εἰς δέ τό Κύριε Ἐκέκραξα, ἱστῶμεν Στίχους στ΄ Καί ψάλλομεν Στιχηρά Προσόμοια

Ἦχος α΄ Ὢ τοῦ Παραδόξου θαύματος

Στίχ. Ἐάν ἀνομίας παρατηρήσῃς Κύριε, Κύριε, τίς ὑποστήσεται, ὅτι παρά Σοι ὁ ἱλασμός ἐστίν.

Ὢ τοῦ παραδόξου θαύματος, Νεανίδων σεμνῶν, ὁ θεόφρων ὅμιλος· ἀγώνων μαρτυρικῶν, ἐγείρει τρόπαια· ἰδού γάρ ὁ δυσμενής, τῇ τῶν Παρθένων ἐνστάσει συντρίβεται· ἡ δύναμις δέ Χριστοῦ, ἐν ἀσθενείᾳ σαρκός μεγαλύνεται· ἀδελφαί γάρ συμφρονοῦσαι, Μηνοδώρα ἤθλησαν· Μητροδώρα ἡ θεία Νυμφοδώρα τε ἡ πάνσεμνος.

Στίχ. Ἕνεκεν τοῦ Ὀνόματός Σου ὑπέμεινά Σε, Κύριε· ὑπέμεινεν ἡ ψυχή μου εἰς τόν λόγον Σου, ἤλπισεν ἡ ψυχή μου ἐπί τόν Κύριον.

Βαβαί τῶν σῶν θαυμασίων Χριστέ· Σύ γάρ ἐκ Παρθένου, γεννηθείς ὡς ἄνθρωπος· Παρθένων θεοειδῶν, χορείαν εἵλκυσας· τοῖς ἴχνεσι γάρ τοῖς Σοῖς, ἀκολουθοῦσαι αἱ θεῖαι Αὐτάδελφοι· χαρίτων τῶν παρά Σοί μαρτυρικῶς τῆς ὀσμῆς ἀντελάβοντο. Μηνοδώρα ἡ θεόφρων καί ἡ ἀεισέβαστος· Μητροδώρα ἡ θεία, Νυμφοδώρα τε ἡ πάνσεμνος.

www.tezaurliturgic.ro

Στίχ. Ἀπό φυλακῆς πρωΐας μέχρι νυκτός, ἀπόφυλακῆς πρωΐας, ἐλπισάτω Ἰσραήλ ἐπί τόν Κύριον.

Ὑμῶν τήν ἔνθεον Ἄθλησιν, δι'ἧς ὡς λυχνία, τρίφωτος ἐλάμψατε· καί πλάνης τό ζοφερόν, σκότος ἠλπίσατε· γεραίρει χαρμονικῶς, ἡ τοῦ Χριστοῦ Ἐκκλησία ἐν ᾄσμασι· τῇ αἴγλῃ τῇ παρ'ὑμῶν, φαιδρυνομένη καί πόθῳ κραυγάζουσα. Χαίρετε φωτός δοχεῖα, Μηνοδώρα ἔνδοξε· Μητροδώρα θεόφρων, Νυμφοδώρα ἡ θεόνυμφος.

Ἕτερα Προσόμοια.

Ἦχος δ'. Ὡς Γενναῖον ἐν Μάρτυσιν

Στίχ. Ὅτι παρά τῷ Κυρίῳ τό ἔλεος, καί πολλή παρ'Αὐτῷ λύτρωσις· καί Αὐτός λυτρώσεται τόν Ἰσραήλ, ἐκ πασῶν τῶν ἀνομιῶν αὐτοῦ.

Ταῖς βαφαῖς ταῖς ἐξ αἵματος, σεαυτάς ὡραΐσασαι· τῷ ὡραίῳ κάλλει κόραι Νεάνιδες· ᾀσματοφόρως συνήφθητε, Χριστῷ τῷ Θεῷ ἡμῶν, συντηροῦντι τήν ὑμῶν, Παρθενίαν ἀμόλυντον εἰς ἀκήρατον· ἀφθαρσίας Νυμφῶνα εἰς θαλάμους οὐρανίους εἰς παστάδα, ἀχειροποίητον Μάρτυρες.

Στίχ. Αἰνεῖτε τόν Κύριον πάντα τά ἔθνη, ἐπαινέσατε Αὐτόν πάντες οἱ λαοί.

Ἀτελεῖ ἐν τῷ σώματι, καί τελείῳ φρονήματι· παλαμναῖον δράκοντα τόν ἀρχέκακον· κατεπαλαίσατε ἔνδοξοι, δυνάμει τοῦ Πνεύματος, καί ἀνίσχυρον αὐτοῦ, τήν ἰσχύν ἀπεδείξατε. Ὅθεν ἤρατε· τούς στεφάνους τῆς νίκης Μηνοδώρα, Μητροδώρα, Νυμφοδώρα, αἱ τῆς Τριάδος ὑπέρμαχοι.

Στίχ. Ὅτι ἐκραταιώθη τό ἔλεος Αὐτοῦ ἐφ'ἡμᾶς, καί ἡ ἀλήθεια τοῦ Κυρίου μένει εἰς τόν αἰῶνα.

Καί τά μέλη στρεβλούμεναι, καί πυρί δαπανώμεναι, σιδηραῖς τε ὄνυξι σπαραττόμεναι· καί ἐπί ξύλου κρεμάμεναι καί ξίφει τεμνόμεναι, οὐκ ἠρνήσασθε Χριστόν, Ἀθληφόροι πανεύφημοι ὅθεν εὕρατε· τούς στεφάνους τῆς νίκης Μηνοδώρα, Μητροδώρα, Νυμφοδώρα, αἱ τῆς Τριάδος ἰσάριθμοι.

www.tezaurliturgic.ro

Δόξα.... Ἦχος πλ.β΄.

Σήμερον, τῇ Ἐκκλησίᾳ ἤστραψεν, ἡ τῶν Αὐταδέλφων Παρθενομαρτύρων μνήμη, ὡς ἡμέρα πολύφωτος, τήν Οἰκουμένην καταυγάζουσα. Δεῦτε οὖν τοῦ ἀθλητικοῦ φωτός μετάσχωμεν, καί ἐπινίκιον ᾄσωμεν ᾆσμα, ταῖς Ἀθληφόροις λέγοντες. Χαίροις, ἡ τριστέλεχος συνέλευσις, ἡ τῆς ἀγχιστείας τήν οἰκείωσιν, τῇ συμφωνίᾳ τῆς γνώμης λαμπρύνασα. Χαίροις ἡ τρίφθογγος λύρα, ἡ τήν ἐν Τριάδι μίαν Θεότητα, ἐπί βημάτων ἀθέων, εὐσταθῶς κηρύξασα. Χαίροις ἡ τῶν ἐνθέων δωρεῶν, συστοιχία φερωνύμως, Μηνοδώρα στερρόφρων, σύν Μητροδώρα καί Νυμφοδώρα. Ἀλλ᾽ ὦ Παρθενομάρτυς ἔνδοξοι, ἐν ἀδελφικῇ ὁμονοίᾳ ἡμᾶς συντηρήσατε, αἰτούμεναι εἰρήνην ἡμῖν, καί μέγα ἔλεος.

Καί νῦν... Τῆς Θεοτόκου. Ἦχος Ὁ Αὐτός

Σήμερον, ὁ τοῖς νοεροῖς θρόνοις, ἐπαναπαυόμενος Θεός, θρόνον Ἅγιον ἐπί γῆς, ἑαυτῷ προητοίμασεν· Ὁ στερεώσας ἐν σοφίᾳ τούς οὐρανούς, Οὐρανόν ἔμψυχον, ἐν φιλανθρωπίᾳ κατασκεύασεν· ἐξ ἀκάρπου γάρ ρίζης, φυτόν Ζωηφόρον ἐβλάστησεν ἡμῖν, τήν Μητέρα Αὐτοῦ. Ὁ τῶν θαυμασίων Θεός καί τῶν ἀνελπίστων ἐλπίς, Κύριε δόξα σοι.

Εἴσοδος, Τό, Φῶς ἱλαρόν, τό Προκείμενον
τῆς ἡμέρας καί τά Ἀναγνώσματα.

Προφητείας Ἡσαΐου τό Ἀνάγνωσμα

Τάδε λέγει Κύριος· πάντα τά ἔθνη συνήχθησαν ἅμα, καί συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. Τίς ἀναγγελεῖ ταῦτα ἐν αὐτοῖς; ἤ τά ἐξ ἀρχῆς τίς ἀκουστά ποιήσει ὑμῖν; Ἀγαγέτωσαν τούς μάρτυρας αὐτῶν καί δικαιωθήτωσαν καί εἰπάτωσαν ἀληθῆ. Γίνεσθε μοι μάρτυρες καί ἐγώ μάρτυς Κύριος ὁ Θεός, καί ὁ παῖς μου ὅν ἐξελεξάμην· ἵνα γνῶτε καί πιστεύσητε καί συνῆτε, ὅτι ἐγώ εἰμί. Ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεός, καί μετ᾽ ἐμέ οὐκ ἔσται. Ἐγώ εἰμί ὁ Θεός, καί οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σώζων. Ἐγώ ἀνήγγειλα καί ἔσωσα, ὠνείδισα καί οὐκ ἦν ἐν ὑμῖν Θεός ἀλλότριος. Ὑμεῖς ἐμοί μάρτυρες καί ἐγώ Μάρτυς λέγει Κύριος ὁ Θεός. Ἔτι ἀπ᾽ ἀρχῆς ἐγώ εἰμί καί οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος. Ποιήσω, καί τίς ἀποστρέψει αὐτό; Οὕτω λέγει Κύριος ὁ Θεός, ὁ λυτρούμενος ἡμᾶς, ὁ Ἅγιος Ἰσραήλ.

Σοφίας Σολομῶντος τό Ἀνάγνωσμα

www.tezaurliturgic.ro

Δικαίων ψυχαί ἐν χειρί Θεοῦ καί οὐ μή ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνᾶναι, καί ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καί ἡ ἀφ'ἡμῶν πορεία σύντριμμα, οἱ δέ εἰσίν ἐν εἰρήνῃ. Καί γάρ ἐν ὄψει ἀνθρώπων ἐάν κολασθῶσιν, ἡ ἐλπίς αὐτῶν ἀθανασίας πλήρης. Καί ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται, ὅτι ὁ Θεός ἐπείρασεν αὐτούς, καί εὗρεν αὐτούς ἀξίους ἑαυτοῦ. Ὡς χρυσόν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καί ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καί ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι καί ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καί κρατήσουσι λαῶν καί βασιλεύσει αὐτῶν Κύριος εἰς τούς αἰῶνας. Οἱ πεποιθότες ἐπ'αὐτόν, συνήσουσιν ἀλήθειαν, καί οἱ πιστοί ἐν ἀγάπῃ προσμενοῦσιν Αὐτῷ. Ὅτι χάρις καί ἔλεος ἐν τοῖς ὁσίοις Αὐτοῦ καί ἐπισκοπή ἐν τοῖς ἐκλεκτοῖς Αὐτοῦ.

## Σοφίας Σολομῶντος τό Ἀνάγνωσμα

Δίκαιοι εἰς τόν αἰῶνα ζῶσι, καί ἐν Κυρίῳ ὁ μισθός αὐτῶν, καί ἡ φροντίς αὐτῶν παρά Ὑψίστῳ. Διά τοῦτο λήψονται τό βασίλειον τῆς εὐπρεπείας καί τό διάδημα τοῦ κάλλους ἐκ χειρός Κυρίου, ὅτι τῇ δεξιᾷ σκεπάσει αὐτούς καί τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τόν ζῆλον αὐτοῦ, καί ὁπλοποιήσει τήν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα δικαιοσύνην· καί περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον ὁσιότητα, ὀξυνεῖ δέ ἀπότομον ὀργήν εἰς ρομφαίαν. Συνεκπολεμήσει δέ αὐτῷ ὁ κόσμος ἐπί τούς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καί ὡς ἀπό εὐκύκλου τόξου τῶν νεφῶν ἐπί σκοπῶν ἁλοῦνται, καί ἐκ πετροβόλου θυμοῦ πλήρεις ριφήσονται χάλαζαι. Ἀγανακτήσει κατ'αὐτῶν ὕδωρ θαλάσσης, ποταμοί δέ συγκλήσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως καί ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς καί ἐρημώσει πᾶσαν τήν γῆν ἀνομία, καί ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν βασιλεῖς καί σύνετε. Μάθετε δικασταί περάτων γῆς. Ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους καί γεγαυρωμένοι ἐπί ὄχλοις ἐθνῶν. Ὅτι ἐδόθη παρά Κυρίου ἡ κράτησις ὑμῖν, καί ἡ δυναστεία παρά Ὑψίστου.

Εἴπωμεν πάντες ἐξ ὅλης τῆς ψυχῆς καί ἐξ ὅλης τῆς διανοίας ἡμῶν εἴπωμεν.

Οἱ χοροί ἐναλλάξ, τό Κύριε ἐλέησον, Τρίς.

www.tezaurliturgic.ro

Τό, Καταξίωσον Κύριε........
Πληρώσωμεν τήν ἑσπερινήν δέησιν ἡμῶν τῷ Κυρίῳ...

ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ

Ἰδιόμελα. Ἦχος α.

Τήν τρίφεγγον λυχνίαν, τήν ἐξ ἀΰλου πυρός ἀναφθεῖσαν, καί τήν Ἐκκλησίαν σελαγίζουσαν, τήν τῶν Αὐταδέλφων Παρθένων τριάδα, Μηνοδώρα σύν Μητροδώρα καί Νυμφοδώρα, ἀσματικῶς τιμήσωμεν. Αὗται γάρ αἱ πανεύφημοι, τοῦ Τριαδικοῦ πόθου τό πῦρ δεξάμεναι, τῆς εἰδωλομανίας τήν ἄκανθαν, τοῖς Μαρτυρικοῖς κατέφλεξαν ἄνθραξι, καί τῆς εὐσεβείας τόν πυρσόν, τοῖς τῶν αἱμάτων ρεύμασι, πλουσίως ἤρδευσαν. Καί νῦν τῆς τριφαοῦς θεότητος, τῇ ἐλλάμψει θεούμεναι, ἀπαύστως πρεσβεύουσιν, ὑπέρ τῶν ψυχῶν ἡμῶν.

Ἦχος β.

Τάς ἀδελφικῶς συγκροτουμένας, καί μαρτυρικῶς ὁμοφρονούσας, δεῦτε πάντες συμφώνως τιμήσωμεν. Τῇ φυσικῇ γάρ ἐξαρτώμεναι σχέσει, Μηνοδώρα ἡ ἔνθεος, Μητροδώρα ἡ ἀήττητος, καί Νυμφοδῶρα ἡ μακαρία, τρίπλοκος σειρά ἀνεδείχθησαν, καί τῆς ὑπερφυοῦς συναφείας τήν ἕνωσιν, ἐν Χριστῷ ἐπέτυχον. Τήν γεηράν γάρ ὑπεριδοῦσαι εὐπάθειαν, Ἀθλητικούς καμάτους, μεγαλοψύχως ἠγωνίσαντο. Διό καί τόν μεγάλαυχον συνέτριψαν δράκοντα, αἰτούμεναι ἀπαύστως ὑπέρ τῶν ψυχῶν ἡμῶν.

Ἦχος γ.

Τίς μή θαυμάσῃ; ἤ τίς μή ἐκπλαγῇ, τῶν Αὐταδέλφων Παρθένων, τήν ὑπέρ φύσιν Ἄθλησιν; Ὢ τοῦ Θαύματος. ὥσπερ ἄλλου πάσχοντος τάς βασάνους ὑπέμειναν· ὁ γάρ ἔρως ὁ Θεϊκός, ἔξω κόσμου καί σαρκός, τούς ἀξίους τοῦ φωτός ἐργάζεται. Ἀλλ' ὦ Μεγαλομάρτυρες σεμναί, Μητροδώρα θεόφρων, Νυμφοδώρα σοφή, σύν Μηνοδώρα τῇ τρισμάκαρι· τά τῆς ἁγνείας κειμήλια καί τῆς ἀνδρείας στῆλαι ἔμψυχοι, ἐν ὁμονοίᾳ ἡμῶν τόν βίον συντηρήσατε, ἵνα τῆς ἀγάπης τό στέφος ἀναδησόμεθα παρά Χριστοῦ τοῦ Θεοῦ, καί Σωτῆρος τῶν ψυχῶν ἡμῶν.

Ἦχος δ.

Ἀθλητική πανδαισία, τῇ Ἐκκλησίᾳ τοῦ Χριστοῦ σήμερον προτίθεται.

www.tezaurliturgic.ro

Αἱ γάρ δωρόνυμοι Παρθενομάρτυρες, ὥσπερ ἐδέσματα ἄριστα, τάς θεοπρεπεῖς αὐτῶν ἀνδραγαθίας, ἡμῖν δορυφοροῦσι. Δεῦτε οὖν καί κορεσθῶμεν τῷ Πνεύματι, δεῦτε καί τρυφήσωμεν τῇ διανοίᾳ, δεῦτε καί ἀκουτισθῶμεν οἵοις ρήμασι λαμπροῖς, ἀλλήλαις αἱ Νεάνιδες, ἐνθαρρύνουσι λέγουσαι. Μή πτοηθῶμεν ἀδελφαί, τά προκείμενα κολαστήρια, ἄφθαρτος γάρ ἡμᾶς διαμένει ἀπόλαυσις. Μή φεισώμεθα θνησκούσης σαρκός, ἀλλά τήν ψυχήν ἄμωμον διατηρήσωμεν, ἵνα μετά Χριστοῦ χορεύσωμεν, ἐν τῇ ἀλήκτῳ φαιδρότητι.

Δόξα... Ἦχος πλ.δ.

Ἡ τῆς κλήσεως ἁρμονία, τό τῆς ψυχῆς ὑμῶν, εὐδόκιμον ἐκ προοιμίων προέγραψε, σεμναί Καλλιμάρτυρες. Ὑμεῖς γάρ, ἀφιερωθεῖσαι τῷ Λόγῳ, τόν τῆς πίστεως σύνδεσμον, ἄρρηκτον διασώσατε· καί τῇ Ἀθλητικῇ γεωργίᾳ, τῶν θεϊκῶν φερωνύμως δένδρων, τούς βότρυας ἠνθήσατε. ἐξ ὧν ἡ ἄμωμος Ἐκκλησία, τόν Ζωαρχικόν ἀποτρυγῶσα οἶνον, τοῖς ἑαυτοῖς τέκνοις βοᾷ· ἔλθετε τέκνα μετ' εὐφροσύνης, καί ἐκ τοῦ ἀθανάτου πίετε νάματος, ἵνα ζήσετε εἰς τόν αἰῶνα, ὡς ἐπηγγείλατο Χριστός, ὁ ἔχων τό μέγα ἔλεος.

Καί νῦν... Τῆς Θεοτόκου. Ἦχος ὁ Αὐτός.

Ἐν εὐσήμῳ ἡμέρα ἑορτῆς ἡμῶν, σαλπίσωμεν πνευματικῇ κιθάρα· ἡ γάρ ἐκ σπέρματος Δαυΐδ, σήμερον τίκτεται, ἡ Μήτηρ τῆς Ζωῆς, τό σκότος λύουσα. Τοῦ Ἀδάμ ἡ ἀνάπλασις καί τῆς Εὔας ἡ ἀνάκλησις. Τῆς ἀφθαρσίας ἡ πηγή καί τῆς φθορᾶς ἀπαλλαγή, δι' ἧς ἡμεῖς ἐθεώθημεν, καί τοῦ θανάτου ἐλυτρώθημεν· καί βοήσωμεν Αὐτῇ, σύν τῷ Γαβριήλ οἱ πιστοί. Χαῖρε Κεχαριτωμένη, ὁ Κύριος μετά Σοῦ, διά σοῦ χαριζόμενος ἡμῖν, τό μέγα ἔλεος.

Εἰς τόν Στίχον Στιχηρά Προσόμοια

Ἦχος πλ.α. Χαίροις Ἀσκητικῶν.

Χαίροις ἡ τῶν Παρθένων τριάς, τῆς Τρισηλίου μοναρχίας αἱ σάλπιγγες· ἁγνείας τερπνοί λειμῶνες, οἱ ἐξανθοῦντες ἀεί, τά τῆς εὐσεβείας κρίνα εὔοσμα· ἐξ ὧν κόσμῳ ἔπνευσε, δωρεῶν τῶν τοῦ Πνεύματος, ὀσμή ἡ θεία καί τοῦ Λόγου εἰργάσατο, τούς προστρέχοντας εὐωδίαν ἐν πράξεσι. Μάρτυρες Καλλιπάρθενοι, ἁγνότατα σφάγια, Ἀμνοῦ

www.tezaurliturgic.ro


Θεοῦ τοῦ τυθέντος, ὑπέρ ἡμῶν ἀγαθότητι· Ὅν νῦν δυσωπεῖτε, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τό μέγα ἔλεος.

Στίχ. Μύρον ἐκκενωθέν ὄνομά Σου, διά τοῦτο ἠγάπησαν σε Παρθένοι Νεάνιδες.

Χαίροις, ἡ τῶν Παρθένων τριάς, τρισαυγεστάτη λαμπηδῶν θείου Πνεύματος· ἡ λάμψασα τοῖς ἐν σκότει τῆς ἀληθείας τό φῶς, καί εἰδώλων πλάνην, ἀμαυρώσασα. Ἀγγέλων ἐφάμιλλος, Ἀθληφόρων ἀγλάϊσμα, τῆς Ἐκκλησίας, βάσις ὄντως ἡ τρίστυλος καί ἑδραίωμα κλονουμένων ἀσάλευτον· σκεύη τά καθαρώτατα, δοχεῖα ὑπέρλαμπρα, τῶν τῆς ζωῆς παθημάτων, τό θεῖον κάλλος χωρήσαντα. Χριστόν δυσωπεῖτε ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τό μέγα ἔλεος.

Στίχ. Ὑπομένων ὑπέμεινα τόν Κύριον καί προσέσχε μοι, καί εἰσήκουσε τῆς δεήσεώς μου.

Χαίροις, ἡ τῶν Παρθένων τριάς, τρίκρουνος βρῦσις, ἐκ πηγῆς φωτοδότιδος, τρισόφωτος δαδουχία, ἡ τῶν θαυμάτων αὐγαῖς, Οἰκουμένην πᾶσαν καταυγάζουσα· Παρθένων τά πρότυπα, ἀρετῶν θησαυρίσματα, ἡ Μηνοδώρα, ἡ ἐν πόνοις στερέμνιος, Μητροδώρα τε, Νυμφοδώρα αἱ πάνσεμνοι· Μάρτυρες ἀεισέβαστοι, χαρίτων ἀνάμεστοι, αἱ ἀδελφαί ἀπό βρέφους, θεοπειθῶς συμφωνήσασαι. Χριστόν δυσωπεῖτε, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι τό μέγα ἔλεος.

Δόξα.... Ἦχος πλ.δ΄

Δεῦτε ἅπαντες πιστοί, τήν τρισαυγῆ τῶν Μαρτύρων χορείαν, μελωδικούς ἐπαίνους καταστέψωμεν. Μηνοδώραν τήν ἔνδοξον, Μητροδώραν τήν πολύαθλον καί Νυμφοδώρα τήν ἀήττητον. Τά τοῦ Λόγου ὄργανα, τῆς ἀφθαρσίας τά ἔσοπτρα, υοῦ οὐρανίου Βασιλέως τάς θυγατέρας, ὧν ἡ δόξα ἔσωθεν, κατά Δαυΐδ τόν θεῖον. Γυναικεῖαν γάρ ἀσθένειαν ἀποθέμεναι, πρός ἀνδρείους ἀγῶνας, εὐασθενῶς παρετάξαντο. Διό τάς ἐναντίας ἀρχάς τροπωσάμεναι, πρός ἀειζώους θαλάμους, μετά φαιδρῶν λαμπάδων ἀπελαύνουσι καί τῷ κόσμῳ αἰτοῦνται, εἰρήνην καί μέγα ἔλεος.

Καί νῦν... Τῆς Θεοτόκου. Ἦχος ὁ Αὐτός

Δευτε ἅπαντες πιστοί, πρός τήν Παρθένον δράμωμεν. Ἰδού γάρ γεν-

www.tezaurliturgic.ro

νᾶται, ἡ πρό γαστρός προορισθεῖσα, τοῦ Θεοῦ ἡμῶν Μήτηρ· τό τῆς Παρθενίας κειμήλιον, ἡ τοῦ Ἀαρών βλαστήσασα ράβδος· ἐκ τῆς ρίζης τοῦ Ἰεσσαί, τῶν Προφητῶν τό κήρυγμα καί τῶν Δικαίων, Ἰωακείμ καί Ἄννης τό βλάστημα. Γεννᾶται τοίνυν, καί ὁ κόσμος, σύν Αὐτῇ ἀνακαινίζεται. Τίκτεται, καί ἡ Ἐκκλησία, τήν ἑαυτῆς εὐπρέπειαν κατατστολίζεται. Ὁ Ναός ὁ Ἅγιος, τό τῆς Θεότητος δοχεῖον, τό Παρθενικόν Ὄργανον, ὁ Βασιλικός θάλαμος, ἐν ᾧ τό παράδοξον τῆς ἀπορρήτου ἑνώσεως, τῶν συνελθουσῶν ἐπί Χριστοῦ φύσεων, ἐτελεσιουργήθη μυστήριον. Ὅν προσκυνοῦντες ἀνυμνοῦμεν, τήν τῆς Παρθένου Πανάμωμον Γέννησιν.

Τό, Νῦν ἀπολύεις, τό Τρισάγιον καί τό

Ἀ π ο λ υ τ ί κ ι ο ν

Ἦχος α΄ Τούς τρεῖς μεγίστους.

Τάς τρεῖς ἐνδόξους Παρθένους καί Ἀθληφόρους θεόφρονας, τάς συνδεδεμένας ἐνθέως ἀδελφικῇ οἰκειότητι· τάς Καλλιρρόους πηγάς τῆς εὐσεβείας, τάς ἀναβλυζούσας, Μαρτυρικῶν ἀγώνων χάριν ἀέναον· τήν θείαν Μηνοδώραν καί τήν Μητροδώραν τήν ἔνδοξον, σύν τῇ κλυτῇ Νυμφοδώρᾳ, τῇ ἐν πᾶσι καρτερόφρονι. Πάντες οἱ τρυφῶντες τῶν ἄθλων αὐτῶν, συνδραμόντες ὕμνοις τιμήσωμεν, αὐταί γάρ τῇ Τριάδι, ὑπέρ ἡμῶν ἀεί πρεσβεύουσι.

Δόξα Πατρί..... Τό Αὐτό.

Καί νῦν.... Τῆς Θεοτόκου

Ἦχος δ΄ Αὐτόμελον

Ἡ Γέννησίς Σου Θεοτόκε, χαράν ἐμήνυσε πάσῃ τῇ Οἰκουμένῃ· ἐκ Σοῦ γάρ ἀνέτειλεν ὁ Ἥλιος τῆς Δικαιοσύνης, Χριστός ὁ Θεός ἡμῶν· καί λύσας τήν κατάραν, ἔδωκε τήν εὐλογίαν· καί καταργήσας τόν θάνατον, ἐδωρήσατο ἡμῖν, ζωήν τήν αἰώνιον.

Καί Ἀ π ό λ υ σ ι ς

-.-.-.-.-.-.-

www.tezaurliturgic.ro

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τόν Ἑξάψαλμον, τό Θεός Κύριος, μετά τῶν Στίχων αὐτοῦ, καί τά Ἀπολυτίκια, ὡς ἐν τῷ Ἑσπερινῷ. Εἶτα ἡ α΄ Στιχολογία τοῦ Ψαλτηρίου, καί μετ'αὐτήν τό Κάθισμα

Ἦχος α΄ Τόν τάφον σου Σωτήρ.

Ὡς τρίφωτος λαμπάς, ἐν ἁγνείας τῷ ὕψει, ἐδείχθητε ἡμῖν, αἱ Αὐτάδελφαι Κόραι· Τριάδα τήν Ἄκτιστον, ταῖς τῶν ἄθλων λαμπρότητι, καταγγέλουσαι, τούς ἐν νυκτί ἀγνωσίας καί ἐκλάμπουσι, μαρμαρυγάς ἰαμάτων, τοῖς πόθῳ προστρέχουσι.

Δόξα... Ἦχος δ΄ Κατεπλάγη Ἰωσήφ

Καθελοῦσαι τόν ἐχθρόν, ἐν ἀσθενείᾳ τῆς σαρκός· τῶν τυράννων τήν ἰσχύν, ἐξενευρίσατε στερρῶς· καί τοῦ Σταυροῦ τήν δύναμιν ἐτρανεύσατε. Μάρτυρες σεμναί, Καλλιπάρθενοι· Δόξης ἀληθοῦς, ἐνδιαιτήματα· ἡ Μηνοδώρα σύν Μητροδώρα αἱ πάντιμοι, καί Νυμφοδώρα ἡ ἔνθεος. Αἱ μία γνώμην, πίστεως ζήλῳ, ἀπό παιδός τιθηνήσασαι.

Καί νῦν... Τῆς Θεοτόκου. Ἦχος ὁ Αὐτός.

Ἀναβόησον Δαυΐδ, τί ὤμοσέ σοι ὁ Θεός; Ἅ μοι ὤμοσε φησί, καί ἐκπεπλήρωκεν ἰδού· ἐκ τοῦ καρποῦ τῆς κοιλίας μου δούς τήν Παρθένον· ἐξ ἧς ὁ πλαστουργός, Χριστός ὁ Νέος Ἀδάμ, ἐτέχθη Βασιλεύς, ἐπί τοῦ θρόνου μου· καί Βασιλεύει σήμερον, ὁ ἔχων τήν Βασιλείαν ἀσάλευτον. Ἡ στεῖρα τίκτει τήν Θεοτόκον καί τροφόν τῆς Ζωῆς ἡμῶν.

Μετά τήν β΄ Στιχολογίαν Κάθισμα

Ἦχος πλ.δ΄ Τήν Σοφίαν καί Λόγον

Τοῖς κρουνοῖς τῶν αἱμάτων ἀειφεγγῆ τήν λαμπάδα τηρήσασαι τῆς ψυχῆς, λαμπρῶς ὡραΐσθητε Μαρτυρίου τοῖς κάλλεσι, καί τῷ φαιδρῷ Νυμφῶνι Χριστοῦ ἐσκηνώσατε, τοῦ Ἀληθοῦς Νυμφίου ὁρῶσαι τήν ἔλλαμψιν. Ὅθεν τήν τῶν πόθων, ἀποπλήρωσιν θείαν, εὑροῦσαι κατάλληλον τοῖς Ἀγγέλοις ἡνώθητε, Ἀθληφόροι Αὐτάδελφοι. Πρεσβεύσατε Χριστῷ τῷ Θεῷ,τῶν

www.tezaurliturgic.ro

πταισμάτων ἄφεσιν δωρήσασθαι· τοῖς ἑορτάζουσι πόθῳ, ὑμῶν τήν πανήγυριν.

Δόξα... Ἦχος δ΄ Ἐπεφάνης σήμερον

Ἐν σταδίῳ ἤστραψαν, αἱ τρεῖς Παρθένοι, φωταυγέσι χάρισι, τῆς Τρισηλίου ἀστραπῆς, καί τῶν τυράννων διέλυσαν τάς μηχανίας, ὡς νύκτα ὀλέθριον.

Καί νῦν... Τῆς Θεοτόκου. Ἦχος ὁ Αὐτός

Τῇ Σεπτῇ Γεννήσει σου, ἡ Οἰκουμένη, τῷ Ἁγίῳ Πνεύματι, πεποικιλμένη νοερῶς, ἐν εὐφροσύνῃ κραυγάζει Σοι· Χαῖρε Παρθένε, Χριστιανῶν τό καύχημα.

Ὁ Πολυέλεος: Δοῦλοι Κύριον καί
Ἐξομολογεῖσθε τῷ Κυρίῳ.

Μετά δέ ταῦτα Κάθισμα.

Ἦχος πλ.δ΄ Τό Προσταχθέν μυστικῶς.

Ἰχνηλατοῦσαι, τοῦ Χριστοῦ τό θεῖον Πάθος, τήν τῶν Μαρτύρων, ἐπεδείξασθε ἀνδρείαν, κάλλος ἀρνησάμεναι φύσεως θνησκούσης· καί πόνοις προσομιλοῦσαι ὀδυνηροῖς, μετέστητε πρός θαλάμους φωτοειδεῖς. Μηνοδώρα ἀήττητε, σύν Μητροδώρα τῇ σεπτῇ καί Νυμφοδώρα κράζουσαι, Δόξα Λόγε τῷ κράτει Σου.

Δόξα... Καί νῦν... Τῆς Θεοτόκου. Ἦχος ὁ Αὐτός.

Ἀγαλλιάσθω οὐρανός, γῆ εὐφραινέσθω· ὁ τοῦ Θεοῦ γάρ Οὐρανός ἐν γῇ ἐτέχθη, ἡ Θεόνυμφος Α΄υτη ἐξ ἐπαγγελίας. Ἡ στεῖρα βρέφος θηλάζει τήν Μαριάμ· καί χαίρει ἐπί τῷ Τόκῳ Ἰωακείμ, ράβδος λέγων ἐτέχθη μοι, ἐξ ἧς τό Ἄνθος Χριστός, ἐβλάστησεν ἐκ ρίζης Δαυΐδ. Ὄντως θαῦμα παράδοξον.

Τό α΄ Ἀντίφωνον τοῦ δ΄ ἤχου

Ἐκ Νεότητός μου, πολλά πολεμεῖ με πάθη, ἀλλ' Αὐτός ἀντιλαβοῦ καί σῶσον Σωτήρ μου.(Δίς).

www.tezaurliturgic.ro

Οἱ μισοῦντες Σιών, αἰσχύνθητε ἀπό τοῦ Κυρίου· ὡς χόρτος γάρ πυρί, ἔσεσθε ἀπεξηραμένοι. (Δίς).

Δόξα Πατρί.....

Ἁγίῳ Πνεύματι, πᾶσα ψυχή ζωοῦται· καί καθάρσει ὑψοῦται λαμπρύνεται, τῇ Τριαδικῇ Μονάδι, ἱεροκρυφίως.

Καί νῦν καί ἀεί....

Ἁγίῳ Πνεύματι, ἀναβλύζει, τά τῆς χάριτος ρεῖθρα, ἀρδεύοντα· ἅπασαν τήν κτίσιν, πρός ζωογονίαν.

Προκείμενον:
Ὑπομένων ὑπέμεινα τόν Κύριον καί προσέσχε μοι, καί εἰσήκουσε τῆς δεήσεώς μου.(Δίς).

Στίχ. Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ Αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.

Πᾶσα Πνοή
Εὐαγγέλιον: Τῶν Δέκα Παρθένων
(Ζήτει τῷ ΙΖ΄ Σαβ.τοῦ Ματθ.)
Ὁ Ν΄ Ψαλμός

Δόξα....Ταῖς τῶν Ἀθληφόρων πρεσβείαις.......
Καί νῦν.... Ταῖς τῆς Θεοτόκου....

Ἰδιόμελον Ἦχος πλ.β΄

Στίχ. Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός.......

Παρθενομάρτυρες Χριστοῦ, ὑμεῖς τήν ἀγαθήν μερίδα προκρίνασαι, τῇ θεοειδεῖ πολιτεία διε πρέψατε. Καί πρός Ἀθλητικούς ἀποδοσάμεναι ἀγῶνας, τούς Ἀσωμάτους νόας ἐξεπλήξατε, τῷ ἀνενδότῳ τῆς ψυχῆς παραστήματι. Μεθ'ὧν νῦν αὐλιζόμεναι, ἐκ πολυπλόκων τοῦ βίου σκανδάλων ἡμᾶς λυτρώσασθε, τούς ἐκτελοῦντας ἐκ πόθου, τήν μνήμην Ὑμῶν τήν πάνσεπτον.

Εἶτα: Σῶσον ὁ Θεός τόν λαόν σου.......
Τό, Κύριε ἐλέησον ΙΒ΄(12) καί εὐθύς

www.tezaurliturgic.ro

Οἱ Κανόνες τῆς Θεοτόκου καί τῶν Μαρτύρων.

Ὁ Κανών τῆς Θεοτόκου. -Ἦχος β.́-

Ὠ δ ή α.́ Ὁ Εἱρμός.(Ἄνευ στίχου)

Δεῦτε λαοί, ᾄσωμεν ᾆσμα Χριστῷ τῷ Θεῷ, τῷ διελόντι θάλασσαν, καί ὁδηγήσαντι τόν λαόν ὅν ἀνῆκε, δουλείας Αἰγυπτίων, ὅτι δεδόξασται.

Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Δεῦτε πιστοί, Πνεύματι θείῳ γηθόμενοι, τήν ἐξ ἀκάρπου σήμερον ἐπιδημήσασαν, είς βροτῶν σωτηρίαν Ἀειπάρθενον Κόρην, ὕμνοις τιμήσωμεν.

Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Χαῖρε σεμνή, Μήτηρ καί δούλη Χριστοῦ τοῦ Θεοῦ, ἡ τῆς ἀρχαίας πρόξενος μακαριότητος τῶν ἀνθρώπων τῷ γένει, Σέ πάντες ἐπαξίως, ὕμνοις δοξάζομεν.

Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Ἡ τῆς Ζωῆς τίκτεται σήμερον γέφυρα, δι᾽ἧς βροτοί ἀνάκλησιν τῆς καταπτώσεως τῆς είς Ἅδου εὑρόντες, Χριστόν τόν Ζωοδότην ὕμνοις δοξάζουσιν.

Τῶν Μαρτύρων Ἦχος δ.́ Ἀνοίξω τό στόμα μου.

Στίχ. Μάρτυρες τοῦ Χριστοῦ, πρεσβεύσατε ὑπέρ ἡμῶν.

Τριάδα τήν Ἄκτιστον ἥν εὐσεβῶς ἐκηρύξατε, ἡμῖν ἱλεώσασθε Μάρτυρες ἔνδοξοι, νῦν γεραίρουσιν ὑμῶν τούς θείους ἄθλους· καί τά κατορθώματα θεομακάριστοι.

Μάρτυρες τοῦ Χριστοῦ.........

Ρημάτων ἠλόγησαν τοῦ δυσμενοῦς αἱ Νεάνιδες, τῷ θείῳ φραττόμεναι ὅπλῳ τῆς πίστεως, καί ὑπέστησαν βασάνων τρικυμίαν· καί θάνατον ἄδικον διά τήν πάντων ζωήν.

Μάρτυρες τοῦ Χριστοῦ.......

Ἰσχύϊ ρωννύμεναι παντοδυνάμῳ τοῦ κτίσαντος, ἀνδρείαν ἀνέλαβον γνώμην αἱ πάνσεμνοι, καί τόν δράκοντα τόν σκολιόν τόν μέγαν· ποσί κατεπάτησαν καί κατηδάφισαν.

www.tezaurliturgic.ro

Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Ὡς ἔμψυχον θάλαμον ὡς ἀδιάφθορον σκήνωμα, ὡς πύλην οὐράνιον ὡς θείαν τράπεζαν ὡς παλάτιον καί θρόνον τοῦ Δεσπότου· Μαρίαν τήν Ἄχραντον, ὕμνοις τιμήσωμεν.

Ἕτερος τῶν Μαρτύρων. Ὑπό Γερασίμου.

Ἦχος πλ.δ΄ Ἁρματηλάτην Φαραώ.

Μάρτυρες τοῦ Χριστοῦ, πρεσβεύσατε ὑπέρ ἡμῶν.

Μαρτυρικοῦ κεκοσμημέναι στέμμασιν, ὡς Ἀθληφόροι Χριστοῦ, καί ταῖς τῆς Τριάδος καλλοναῖς θεούμεναι, Παρθένοι αἱ τρισάριθμοι· φωτισμόν μοι σοφίας, παρά Θεοῦ ἐξαιτήσασθε, μέλποντι ἡμῶν τήν πανήγυριν.

Μάρτυρες τοῦ Χριστοῦ........

Ἔρως ὁ θεῖος ὥσπερ πῦρ οὐράνιον, ἐν ταῖς καρδίαις ὑμῶν ἀναφθείς ἀΰλως Μάρτυρες καλλίνικοι, ὑμᾶς λαμπρῶς ἀνέδειξε παρθενίας λαμπάδας· ἐξαστραπτούσας τοῖς σκάμμασι, τήν τῆς εὐσεβείας λαμπρότητα.

Μάρτυρες τοῦ Χριστοῦ........

Λελαμπρυσμέναι αἱ σεμναί Αὐτάδελφοι ἀπό νεότητος, σωματικῷ κάλλει καί ψυχῆς φαιδρότητι, τήν χάριν τήν τοῦ πνεύματος ἐκληρώσαντο πίστει, ὥσπερ τρυγόνες πανάμωμοι, κόσμου συναυλίας μακρύνουσαι.

Μάρτυρες τοῦ Χριστοῦ.......

Πᾶσαν τήν σχέσιν τῶν φθαρτῶν παρείδετε ὡς οὐρανόφρονες, καί τῷ Θεῷ Λόγῳ, νοερῶς ἡνώθητε· ἐν ὄρει γάρ σκηνώσασαι βιοτήν οὐρανίαν, μετά σαρκός διεδράμετε, ρεῖθρα ἰαμάτων πηγάζουσαι.

Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Ὡς μυροθήκη φωταυγής καί ἔμψυχος τοῦ θείου μύρου Ἁγνή, Ζωῆς εὐωδίαν τῷ κόσμῳ διέπνευσας, ἧς ἐν μεθέξει ὤφθησαν αἱ Αὐτάδελφοι Κόραι, περιφανῶς ἀριστεύσασαι, Κεχαριτωμένη Πανύμνητε.

Ὠ δ ή η΄ Τῆς Θεοτόκου

Ο ΕΙΡΜΟΣ ( ἄνευ στίχου )

www.tezaurliturgie.ro

Στερέωσον ἡμᾶς ἐν Σοί Κύριε, ὁ Ξύλῳ νεκρώσας τήν ἁμαρτίαν, καί τόν φόβον σου ἐμφύτευσον είς τάς καρδίας ἡμῶν τῶν ὑμνούντων Σε.

Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Ἀμέμπτως τῷ Θεῷ πολιτευσάμενοι, τήν πάντων ἐκύησαν σωτηρίαν, οἱ θεόφρονες γεννήτορες, τῆς τόν Κτίστην τεκούσης καί Θεόν ἡμῶν.

Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Ὁ πᾶσι τήν ζωήν πηγάζων Κύριος, ἐκ στείρας προήγαγε τήν Παρθένον· Ἥν εἰσδῦναι κατηξίωσε, μετά Τόκον φυλάξας ἀδιάφθορον.

Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς..

Τῆς Ἄννης τόν καρπόν Μαρίαν σήμερον, τήν βότρυν κυήσασαν ζωηφόρον, ὡς Θεοτόκον ἀνυμνήσωμεν, προστασίαν τε πάντων καί βοήθειαν.

Τῶν Μαρτύρων. " Οὐκ ἐν σοφίᾳ "

Μάρτυρες τοῦ Χριστοῦ πρεσβεύσατε ......

Νενεκρωμένῳ λογισμῷ, ὁ παράνομος τύραννος, τήν Ζωήν ἡμῶν Χριστόν, δεινῶς ἀρνεῖσθαι ἠνάγκαζε, Μάρτυς Μηνοδώρα καταικιζόμενος.

Μάρτυρες τοῦ Χριστοῦ πρεσβεύσατε.....

Ἀτενιζούσης πρός Θεόν, δικαστής οὐκ ἐφείσατο, ἀλλά ῥάβδοις, ἀπηνῶς συνθλᾶ τά μέλη σου· στέφος σοι πλέκων ὡς οὐκ ᾤετο,Μάρτυς ἀμαράντον.

Μάρτυρες τοῦ Χριστοῦ πρεσβεύσατε.....

Διά βασάνων, αἱ τρισόλβιοι Ἅγιαι Μάρτυρες, θησαυρόν ἐν οὐρανοῖς καί αἰωνίζουσαν εὔκλειαν εὕραντο,τρανότερον Θεῷ ἐγγίζουσαι.

Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Ἐπιφανεῖσα, τῆς ψυχῆς μου τό σκότος ἀπέλασον, ἁμαρτίας τάς σειράς Ἁγνή Παρθένε διάρρηξον· σῶσον με, κυήσασα τόν Πανοικτίρμονα.

Ἕτερος. " Ὁ στερεώσας κατ᾽ἀρχάς "

Μάρτυρες τοῦ Χριστοῦ πρεσβεύσατε.....

Τῆς εὐσεβείας τήν ἰσχύν, ὡς εἶδεν ἀνθηφοροῦσας ὁ ἐχθρός, ὑμᾶς ἐν

www.tezaurliturgic.ro

μέσῳ σταδίου, κατεπλάγη ἀληθῶς· θεηγορία λόγων γάρ καί πόνων καρτερία, τούτου τό θράσος καθείλετε.

Μάρτυρες τοῦ Χριστοῦ.....

Ῥάβδον δυνάμεως Θεοῦ, ἡ εὐκλεής Μηνοδώρα ὡς κρηπῖδα ἄρραγῆ, κεκτημένη τῶν μαστίγων τάς ὁρμάς καί τῶν ξεσμῶν τήν κάκωσιν, ὑπέμεινε γενναίως, ὑμνολογοῦσα τόν Κύριον.

Μάρτυρες τοῦ Χριστοῦ.......

Ἰσχύϊ τῇ παντουργικῇ ἡ Μητροδώρα ἡ Μάρτυς, Ἱερῶς πυρπολουμένη τήν φρένα, τήν κατάφλεξιν στερρῶς τοῦ σώματος ὑπέμεινε καί τήν παρανομίαν, ἔρωτι θείῳ κατέφλεξεν.

Δόξα Πατρί........

Ὡραιωθεῖσα ἐμφανῶς, τῶν πόνων τῇ ἐπιδόσει Νυμφοδώρα ἡ θεόφρων Νεᾶνις, ἐμνηστεύθη μυστικῶς Χριστῷ τῷ Παντοκράτορι, τῷ ὄντι παρά πάντας βροτούς ὡραίῳ ὡς γέγραπται.

Καί νῦν.......

Νάρδον καί μύρον ὁ Χριστός, ἐκκενωθέν ἐν γαστρί Σου, ὀνομάσθη φιλανθρώπως Παρθένε, οὗ τοῖς ἴχνεσι λαμπρῶς Νεάνιδες ἑπόμεναι, Μαρτυρικούς ἀγῶνας, ὑπερφυῶς ἠγωνίσαντο.

Κάθισμα. Ἦχος δ'. Κατεπλάγη Ἰωσήφ.

Κατεπλάγησαν ὑμῶν, τήν καρτερίαν τήν πολλήν· ἐπουράνιοι χοροί, τῶν Ἀσωμάτων Λειτουργῶν· ὥσπερ γάρ ἄλλου πάσχοντος, εἰς βασάνους διέκεισθε· τά μέλη τοῖς μοχλοῖς, συντριβόμεναι· θάνατον πικρόν, ὑπομένουσαι· καί γυναικείῳ σώματι τόν δράκοντα, τόν ἀποστάτην συντρίβουσαι· Παρθένοι Νύμφαι τοῦ Ζωοδότου, πίστεως οἱ ὑπέρμαχοι.

Δόξα... Καί νῦν.... Τῆς Θεοτόκου. Ἦχος ὁ Αὐτός.

Ἡ Παρθένος Μαριάμ καί Θεοτόκος ἀληθῶς· ὡς νεφέλη τοῦ Φωτός, σήμερον ἔλαμψεν ἡμῖν, καί ἐκ Δικαίων προέρχεται εἰς δόξαν ἡμῶν. Οὐκ ἔτι ὁ Ἀδάμ. κατακρίνεται· ἡ Εὔα τῶν δεσμῶν, ἀπολέλυται. καί διά τοῦτο κράζομεν βοῶντες, ἐν παρρησίᾳ τῇ μόνῃ Ἁγνῇ. Χαράν μηνύει ἡ Γέννησίς Σου, πάσῃ τῇ Οἰκουμένῃ.

www.tezaurliturgic.ro

'Ω δ ή δ΄ Τῆς θεοτόκου.

Ο ΕΙΡΜΟΣ " ἄνευ στίχου "

Εἰσακήκοα Κύριε τήν ἀκοήν τῆς Σῆς οἰκονομίας καί ἐδόξασα Σε μόνε Φιλάνθρωπε.

Ὑπεραγία θεοτόκε σῶσον ἡμᾶς.

Ἀνυμνοῦμεν Σε Κύριε, τόν τοῖς πιστοῖς σωτήριον λιμένα, παρασχόντα πᾶσι τήν Σέ κυήσασαν.

Ὑπεραγία θεοτόκε σῶσον ἡμᾶς.

Σέ θεόνυμφε καύχημα πᾶσι, Χριστός ἀνέδειξε καί κράτος, τοῖς ὑμνοῦσι πίστει Σοῦ τό μυστήριον.

Ὑπεραγία θεοτόκε σῶσον ἡμᾶς

Ἀπειρόγαμε Δέσποινα, ταῖς σαῖς λιταῖς λυτρούμενοι πταισμάτων, εὐγνωμόνως πάντες Σέ μακαρίζομεν.

Τῶν Μαρτύρων. " Ὁ καθήμενος ἐν δόξῃ "

Μάρτυρες τοῦ Χριστοῦ πρεσβεύσατε ὑπέρ ἡμῶν.

Λαμπομένη ταῖς ἀκτῖσι τοῦ Σταυροῦ ἡ ἀοίδιμος Μητροδώρα, ξύλῳ ἀπαιωρουμένη, ὑπέφερε τήν τοῦ πυρός τιμωρίαν, πλάνης ἄνθρακας, δροσισμῷ ἀγάπης τοῦ Χριστοῦ, ἀποσβέσασα.

Μάρτυρες τοῦ Χριστοῦ........

Φανοτάτη θεωρία, λογισμῷ ἀτενίζουσα καί φανταζομένη κάλλος, τοῦ Νυμφίου ἀμήχανον, κατεαγεῖσα μοχλῷ τε ἡ ἀοίδιμος Μηνοδώρα, φέρει καρτερῶς τά ἐπίπονα.

Μάρτυρες τοῦ Χριστοῦ........

Ὡραιώθητε Παρθένοι, καί φαιδρῶς ἐδοξάσθητε· τόν δεδοξασμένον Λόγον, ὁλικῶς ἀγαπήσασαι· οὗ τετρωμέναι τῷ πόθῳ ὑπεμείνατε, παθημάτων τάς ἐπαγωγάς καρτερώτατα.

Ὑπεραγία θεοτόκε σῶσον ἡμᾶς.

Νεκρωθέντα κακία, τοῦ δολίου Πανάχραντε· Ἡ ζωήν τεκοῦσα, ζώωσον με τόν δήλεον. Τόν ἐμπεσόντα εἰς βάθη παραπτώσεων, ἐπανάγαγε ὡς

www.tezaurliturgic.ro

συμπαθής Παναμώμητε.

Ἕτερος. " Σύ μου ἰσχύς Κύριε "

Μάρτυρες τοῦ Χριστοῦ πρεσβεύσατε ὑπέρ ἡμῶν.

Ἀπό παιδός, Χριστόν τόν μόνον ἐράσμιον, διανοίᾳ ὁλικῇ ποθήσασαι· παρθενικόν πλοῦτον ἀληθῶς, μαρτυρίου ἄθλους, εἰς ἑκατόν ἐπηυξήσατε· ἐντεῦθεν νικηφόροι μελῳδεῖτε ἀπαύστως, τῇ Δυνάμει Σου δόξα Φιλάνθρωπε.

Μάρτυρες τοῦ Χριστοῦ.........

Θλᾶσιν μελῶν, καί τόν ἐπώδυνον θάνατον, ὥσπερ ἄλλου πάσχοντος ἠνέγκατε διά τόν πάντων Δημιουργόν· Μηνοδώρα Μάρτυς, καί Μητροδώρα πανεύφημε· μετά τῆς Νυμφοδώρας, ἀθανάτων παστάδων, καί ἀλήκτου Ζωῆς ἀξιούμεναι.

Μάρτυρες τοῦ Χριστοῦ.........

Λαμπροφανῶς καί πλήρεις θείου φρονήματος, καί φρονήσει θεϊκῇ κοσμούμεναι·πρό τῶν βημάτων τῶν ἀσεβῶν, ἔστητε ἀνδρείως, θεολογοῦσαι τήν σάρκωσιν τοῦ πάντων εὐεργέτου· καί εἰδώλων τήν πλάνην διελέγχουσαι, πόνων στερρότητι.

Μάρτυρες τοῦ Χριστοῦ.........

Ὄντως φαιδρᾷ καί φωταυγής καί ἀήττητος, ἡ χορεία πέφυκε Φιλάνθρωπε, τῶν Αὐταδέλφων τῶν ἐκλεκτῶν· φύσεως τῷ νόμῳ καί εὐσεβείας ταῖς χάρισι, λαμπρῶς συγκροτουμένη καί βοῶσα Σοι Λόγε· τῇ Δυνάμει Σου Δόξα Φιλάνθρωπε.

Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Πύλη φωτός, θεοφεγγής ἀναδέδειξαι Θεοτόκε, Μήτηρ Ἀειπάρθενε· ἐκ Σοῦ γάρ ὤφθη μετά σαρκός ὁ Δεσπότης πάντων, ὁ μόνος Ὤν Μεγαλόδωρος· ὁ δώροις ἀϊδίοις τόν χορῶν Παρθένων ἀγλαΐσας, Χριστός ὁ Θεός ἡμῶν.

Ὠδή ε΄. Τῆς Θεοτόκου
Ο ΕΙΡΜΟΣ ( ἄνευ στίχου)

Ὀσκιόγραφον ἀχλύν αἰνιγμάτων σκεδάσας, καί τῶν πιστῶν ἐκβάσει τῆς ἀληθείας, διά τῆς Θεόπαιδος καταυγάσας τάς καρδίας· καί ἡμᾶς, τῷ φωτί Σου Χριστέ καθοδήγησον.

www.tezaurliturgic.ro -

Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Ἀνυμνήσωμεν λαοί, τήν τῶν πάντων αἰτίαν, τοῦ καθ'ἡμᾶς γενέσθαι τόν αἴτιον· ἧς τόν τύπον ἔχαιρον ἀξιούμενοι Προφῆται, ἐναργῆ σωτηρίαν ταύτης καρπούμενοι.

Ὑπεραγία Θεοτόκε......

Τῆς ἀνίκμου ὁ βλαστός ῥάβδου τοῦ Ἱερέως, τῷ Ἰσραήλ ἐδήλωσε πρόκρισιν· καί νῦν τήν λαμπρότητα τῶν φυσάντων παραδόξως, δαδουχεῖ τό ἐκ στείρας πανένδοξον κύημα.

Τῶν Μαρτύρων. " Σύ Κύριε μου φῶς"

Μάρτυρες τοῦ Χριστοῦ.......

Γνώμην καρτερικήν, καί ἀήττητον φρόνημα, αἱ Μάρτυρες πρό βημάτων ἐνδεικνύμεναι, νίκης στεφάνους ἀνεπλέξαντο.

Μάρτυρες τοῦ Χριστοῦ......

Νῦν φέρει σιδηρῶν, ἐξ ὀνύχων σπαράγματα, στερρότατα κρεμαμένη Νυμφοδώρα, Νυμφίον ποθοῦσα τόν Ἀθάνατον.

Μάρτυρες τοῦ Χριστοῦ.........

Ἡ τρίφωτος λαμπάς, τό τριόροφον οἴκημα, τό σκήνωμα τῆς Τριάδος, εὐφημείσθωσαν ὕμνοις, Παρθένοι αἱ θεόφρονες.

Ὑπεραγία Θεοτόκε........

Σέ μόνην ἐκλεκτήν καί καλήν καί Ἀμώμητον, εὑράμενος σωματοῦται, ὁ Ὑπέρθεος Λόγος, ἐκ Σοῦ Θεοχαρίτωτε.

Ἕτερος. " Ἵνα τί μέ ἀπώσω ".

Μάρτυρες τοῦ Χριστοῦ.....

Ἀκλινεῖ καρτερίᾳ, καί νεανικῇ ἐνστάσει ὡς ἄσαρκος, Μηνοδώρα Μάρτυς, τά ὀστᾶ συντριβεῖσα ταῖς μάστιξι· πᾶσαν τήν μανίαν ἐχθροῦ συνέτριψας εἰς τέλος, συντριβέντων ὀφθεῖσα ἀνόρθωσις.

Μάρτυρες τοῦ Χριστοῦ.....

www.tezaurliturgic.ro

Ρωμαλέα έννοία τοῦ Χριστοῦ εἰκόνισας τό θεῖον πάθημα Μάρτυς Μητροδώρα· ὑφωθεῖσα γάρ ξύλῳ, ὑπέφερες τήν τοῦ σώματος δεινήν κατάφλεξιν θεοφόρων, καί μοχλῶν βαρυτάτων τήν κάκωσιν.

Μάρτυρες τοῦ Χριστοῦ.......

Θεωρία άΰλῳ τοῦ λαμπροῦ Νυμφίου Σου ένατενίζουσα, ὄμμασι καρδίας, Νυμφοδώρα σεμνή Καλλιπάρθενε· τῆς σαρκός τά ἄλγη, ὡς νυμφικά δῶρα ἡγήσω, μεγαλόφρονι νῷ Παμμακάριστε.

Μάρτυρες τοῦ Χριστοῦ.......

Ἐξενεύρισαν πάντα τῆς ἀπάτης σύνδεσμον αἱ γενναιόφρονες· πίστεως Δυνάμει, τῶν βασάνων τά βάρη τά πάνδεινα· καί ξεσμῶν τάς στρέβλας καί τάς μεγίστους ἀλγηδόνας, ὁμονοία προσφέρουσαι.

Ὑπεραγία Θεοτόκε.........

Νυμφικῶς τῷ Υἱῷ Σου τῷ ὡραίῳ Ἄχραντε, Κόραι Νεάνιδες καί σεμναί Παρθένοι, διά πόνων Ἀθλήσεως χαίρουσαι· ἐν παστάσει θείαις, ἀδιαφθόρως συνήφθησαν χαρμονῆς ἀκηράτου πληρούμεναι.

Ὠ δ ή στ. Τῆς Θεοτόκου.

Ο ΕΙΡΜΟΣ ( ἄνευ στίχου).

Πρός Κύριον ἐκ κήτους ὁ Ἰωνᾶς ἐβόησε· Σύ με ἀνάγαγε ἐκ πυθμένος Ἄδου δέομαι, ἵνα ὡς Λυτρωτῇ ἐν φωνῇ αἰνέσεως, ἀληθείας τε πνεύματι θύσω σοι.

Ὑπεραγία Θεοτόκε........

Πρός Κύριον ἐν θλίψει στειρώσεως ἐβόησαν, τῆς Θεομήτορος οἱ θεόφρονες γεννήτορες καί ταύτην γενεαῖς γενεῶν ἐκύησαν, εἰς κοινήν σωτηρίαν καί καύχημα.

Ὑπεραγία Θεοτόκε.......

Ἐδέξαντο οὐράνιον δῶρον ἀξιόθεον, τῆς Θεομήτορος οἱ θεόφρονες γεννήτορες· Αὐτῶν τῶν Χερουβείμ ὑπέρτερον ὄχημα, τήν τοῦ Λόγου καί Κτίστου λοχεύτριαν.

Τῶν Μαρτύρων. "Θύσω σοι, μετά φωνῆς""

Μάρτυρες τοῦ Χριστοῦ.....

www.tezaurliturgic.ro

Ἰδεῖν Σου, ἐφιέμεναι κάλλος ἀμήχανον, αἱ τετρωμέναι τῷ πόθῳ Σοῦ τῷ γλυκυτάτῳ Ἄναρχε Λόγε, τῶν βασάνων τήν πικρίαν, γενναίως ὑπήνεγκαν.

Μάρτυρες τοῦ Χριστοῦ......

Ὡς κρίνα Ἀθλητῶν ἐν λειμῶνι ἐξήνθησαν αἱ πανοαοίδιμοι Κόραι καί τήν Ἐκκλησίαν πνοαῖς βασάνων τῶν ποικίλων, εὐωδίασαν Πνεύματος χάριτι.

Μάρτυρες τοῦ Χριστοῦ........

Νυμφίον τόν Ἀθάνατον μόνον ποθήσασαι, τοῦ ὁρωμένου θανάτου, ἀοράτῳ σθένει νευρούμεναι, ἀριδήλως οὐκ ἐφρόντισαν Κόραι Νεάνιδες.

Ὑπεραγία Θεοτόκε.........

Ἅγιος ὁ σκηνώσας ἐν μήτρᾳ Σου Κύριος, Ἁγιωτέραν εὑρών Σε, καί καθαρωτέραν κτίσεως πάσης, Θεομῆτορ Κυριώνυμε, Ἄχραντε Δέσποινα.

Ἕτερος. " Ἱλάσθητί μοι Σωτήρ ".

Μάρτυρες τοῦ Χριστοῦ......

Ὡς ἄνθη ἀειθαλῆ καί ρόδα ὄντως ἀμάραντα, κολάσι μαρτυρικαῖς, ἐνθέως ἠνθήσατε σεμναί Καλλιπάρθεναι, καί θεογνωσίας εὐωδίαν ἐπαφήκατε.

Μάρτυρες τοῦ Χριστοῦ........

Νυμφίον τόν ἀληθῆ, ἀπό ψυχῆς ἀγαπήσασαι, τοῦ κόσμου πᾶσαν τρυφήν σαφῶς ἀπεπτύσατε καί οἰκείοις αἵμασι, τῆς ἀθανασίας τήν πορφύραν ἐξυφάνατε.

Μάρτυρες τοῦ Χριστοῦ.......

Τήν τρίφωτον ἀληθῶς, τῶν Ἀθληφόρων συνέλευσιν, ὑμνήσωμεν Ἱερῶς Μηνοδώραν μέλποντες· σύν αὐτῇ τήν ἔνδοξον Μητροδώραν ἅμα, καί Νυμφοδώρα τε τήν πάνσεμνον.

Δόξα Πατρί........

Ὁ βίος ὑμῶν λαμπρός, τῆς Παρθενίας τοῖς κάλλεσιν, ἐξέλαμψεν ἐπί γῆς, Αὐτάδελφοι Μάρτυρες· ἡ δέ πίστις ἄρρηκτος τῆς τοῦ Μαρτυρίου, σφραγισθεῖσα ἀγωνίσμασι.

www.tezaurliturgic.ro

Καί νῦν.......

Ὑψίστου περιφανές καί θεῖον, ὤφθης Ἁγίασμα· Ἁγιασμόν ἀληθῆ πηγάζουσα Δέσποινα, ταῖς τρισί Νεάνιδες ταῖς ἀγαπησάσαις, τοῦ Υἱοῦ Σου τήν τερπνότητα.

Κοντάκιον

Ἦχος δ΄. Ὁ Ὑψωθείς ἐν τῷ Σταυρῷ

Ὑπέρ Τριάδος καρτερῶς ἐναθλοῦσαι, τόν πολυμήχανον ἐχθρόν ἐτροπώσασθε ἀδελφικῶς τῷ πνεύματι συνδούμεναι· ὅθεν εἰσωκίσθητε, σύν ταῖς πέντε Παρθένοις, πρός τόν ἐπουράνιον, Ἀθληφόροι Νυμφῶνα· καί σύν Ἀγγέλοις τῷ Παμβασιλεῖ, ἐν εὐφροσύνῃ, ἀπαύστως παρίστασθε.

Ὁ Οἶκος

Ἱερωτάτην συγκροτεῖ πανήγυριν ἐν πίστει ἡ Χριστοῦ Ἐκκλησία, Αὐταδέλφων Μαρτύρων, ἐπιτελοῦσα εὐσεβῶς μνήμην ὑμῶν τήν φωσφόρον, καί λαμπράν καί παμφαῆ, πανεύφημοι ὁμότροποι· στερρῶς γάρ ἐπί τῆς γῆς, ἀντίπαλον νοῦν καταπατήσασαι, ἀνεδήσασθε στεφάνους ἐκ χειρός τοῦ Παμβασιλέως· παρ' οὗ μοι φωτισμόν αἰτήσασθε, ὄντως εὐφημῆσαι τήν ὑμῶν μνήμην ἀξίως καί τάς θαυμαστάς καί θείας ἀνδραγαθίας· ὑμεῖς γάρ τῷ Παμβασιλεῖ, ἐν εὐφροσύνῃ ἀπαύστως παρίστασθε.

Συναξάριον

Τῇ Ι΄ τοῦ μηνός Σεπτεμβρίου, μνήμη τῶν Ἁγίων Μαρτύρων Γυναικῶν Μηνοδώρας, Μητροδώρας καί Νυμφοδώρας.

Στίχ. Ἡγοῦντο Μηνοδώρα καί Μητροδώρα
Καί Νυμφοδώρα δῶρα σαρκός αἰκίας.

Θεινόμεναι δεκάτῃ δωρώνυμοι ἔκθανον αἱ τρεῖς.

Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ Ἁγ. Μάρτυρος Βαρυψαβᾶ.

Τῇ αὐτῇ ἡμέρᾳ , ἡ Ἁγία Πουλχερία ἡ Βασίλισσα, ἐν εἰρήνῃ τελειοῦται.

Στίχ. Ὄντως παρέστη ψαλμικῶς Πουλχερία,
Ἐκ δεξιῶν Σου Βασίλισσα Χριστέ μου.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τῶν Ἁγίων Ἀποστόλων, Ἀπελλοῦ, Λουκᾶ καί Κλήμεντος

www.tezaurliturgic.ro 

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῆς Ἁγίας Μάρτυρος Ἴας, ἥτις ξίφει ἐτελειώθη.

Ταῖς τῶν Σῶν Ἁγίων πρεσβείαις Χριστέ ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.

Ὠ δ ή ζ'. Τῆς Θεοτόκου

Ο ΕΙΡΜΟΣ ( ἄνευ στίχου )

Βάτος ἐν ὄρει πυράφλεκτος καί δροσοβόλος κάμινος Χαλδαϊκή, σαφῶς προγράφει Σε Θεόνυμφε· τό γάρ θεῖον ἄϋλον, ἐν ὑλικῇ γαστρί, πῦρ ἀφλέκτως ἐδέξω· διό τῷ ἐκ Σοῦ τεχθέντι κράζομεν· Εὐλογητός ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Σοῦ ταῖς ἀΰλοις ἐμφάσεσιν, ὁ νομοθέτης εἴργετο κατανοεῖν τό Μέγα Πάνσεμνε Μυστήριον, μή φρονεῖν χαμαίζηλα, συμβολικῶς παιδευόμενος ποτέ· Διό ἐκπλαγεῖς τό θαῦμα ἔλεγεν· Εὐλογητός ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Ὑπεραγία Θεοτόκε.......

Ὄρος καί πύλην οὐράνιον καί νοητήν Σε κλίμακα, θεοπρεπῶς χορός ὁ θεῖος προηγόρευσε· ἐκ Σοῦ γάρ λίθος τέτμηται, οὐχ ὑποστάς ἐγχειρίδιον ἀνδρός· καί πύλην, δι' ἧς διῆλθε Κύριος τῶν θαυμασίων Θεός, Ὁ τῶν Πατέρων ἡμῶν.

Τῶν Μαρτύρων. " Ἀβραμιαῖοι ποτέ ".

Μάρτυρες τοῦ Χριστοῦ........

Θύειν εἰδώλοις, σαφῶς τοῦ δυσσεβοῦς τυράννου κελευομένου, κατεπτύσατε βοῶσαι Νεάνιδες· Ὁ τῶν Πατέρων ἡμῶν Θεός, Εὐλογητός εἶ.

Μάρτυρες τοῦ Χριστοῦ.......

Λελαμπρυσμέναι τόν νοῦν θεαρχικαῖς ἀκτῖσιν, ἀχλύν εἰδώλων ἠμαυρώσατε, βοῶσαι πανεύφημοι· Ὁ τῶν Πατέρων ἡμῶν Θεός, Εὐλογητός εἶ.

Μάρτυρες τοῦ Χριστοῦ.......

Οὐκ ἐκτομαί τῶν μελῶν, οὐ διωγμός, οὐ θλίψις, Χριστοῦ χωρίσαι ὅλως ἴσχυσαν, βοώσας τάς Μάρτυρας. Ὁ τῶν Πατέρων ἡμῶν Θεός, Εὐλογητός εἶ.

www.tezaurliturgic.ro

Μάρτυρες τοῦ Χριστοῦ πρεσβεύσατε ὑπέρ ἡμῶν.

Οὐκ ἐκτομαί τῶν μελῶν, οὐ διωγμός, οὐ θλίψις, Χριστοῦ χωρίσαι ὅλως ἴσχυσαν, βοώσας τάς Μάρτυρας· Ὁ τῶν Πατέρων ἡμῶν Θεός, Εὐλογητός εἶ.

Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Ὑπερφυῶς τόν Θεόν ἐν τῇ γαστρί Σου Κόρη, κυοφορῆσαι κατηξίωσαι, βροτούς ἀναπλάττοντα τούς μελωδοῦντας πιστῶς, Χριστέ Εὐλογητός εἶ.

Ἕτερος. " Θεοῦ συγκατάβασιν "

Μάρτυρες τοῦ Χριστοῦ.......

Σοφίαν τήν Ἄνωθεν, ἐν τῇ ἀνοίξει ὑμῶν τοῦ στόματος, ἑλκύσασαι θεοφρόνως· τάς σοφιστείας τοῦ πολεμήτορος καί τά τῆς πλάνης ἐπιτηδεύματα ἐλύσατε προφανῶς, ὑμνολογοῦσαι Χριστόν.

Μάρτυρες τοῦ Χριστοῦ........

Παθῶν ὑπεκαύματα τῇ ἐπομβρίᾳ τῆς θείας χάριτος καταπαύετε ὄντως, καί ἰαμάτων αἴγλην ἀρίδηλον καταπυρσεύετε, πίστει τοῖς κράζουσιν· Εὐλογητός ὁ Θεός ὁ τῶν Πατέρων ἡμῶν.

Μάρτυρες τοῦ Χριστοῦ........

Οὐδόλως ἐκάμφθητε τῇ τοῦ διώκτου μανίᾳ Μάρτυρες· ἀλλά φίλτρῳ ἀΰλῳ, κολαστηρίων τό πῦρ ἠνέγκατε, φωταγωγοῦσαι τούς πίστει κραυγάζοντας· Εὐλογητός ὁ Θεός ὁ τῶν Πατέρων ἡμῶν.

Μάρτυρες τοῦ Χριστοῦ.......

Νεάνιδες πάνσεμνοι, φύσεως σχέσει λαμπρῶς ἑνούμεναι, ἠκολούθησαν Λόγε τῇ εὐωδίᾳ τῶν παθημάτων Σου, τῇ Σῇ ἀγάπῃ ψυχήν τιτρωσκόμεναι, καί ἐκβοῶσαι φαιδρῶς· Εὐλογητός εἶ Χριστέ ὁ Θεός

Ὑπεραγία Θεοτόκε.........

Ὁ Λόγος Σάρξ γέγονεν ἐκ Σοῦ Παρθένε Θεοχαρίτωτε καί σαρκός ὑπερτέρας, ἐν τῇ Ἀθλήσει δείκνυσιν Ἄχραντε, τάς Ἀθληφόρους βοῶσας ἐν Πνεύματι· Εὐλογητός ὁ Θεός ὁ τῶν Πατέρων ἡμῶν.

www.tezaurliturgic.ro

Ὠ δ ή η΄. Τῆς Θεοτόκου.

Ο ΕΙΡΜΟΣ (ἄνευ στίχου)

Ἐν τῇ καμίνῳ τῇ τῶν παίδων προαπεικόνισας ποτέ, τήν Σήν Μητέρα Κύριε· ὁ γάρ τύπος τούτους πυρός ἐξείλετο, ἀφλέκτως ἐμβατεύοντας· Ἣν ὑμνοῦμεν ἐμφανισθεῖσαν, διά σοῦ τοῖς πέρασι σήμερον, καί ὑπερυψοῦμεν εἰς πάντας τούς αἰῶνας.

Ὑπεραγία Θεοτόκε.......

Τῆς πρός Θεόν ἡμῶν καταλλαγῆς, ἡ προορισθεῖσα σκηνή τοῦ εἶναι, νῦν ἀπάρχεται τεξομένη Λόγον, ἡμῖν παχύτητι σαρκός ἐμφανιζόμενον· Ὃν ὑμνοῦμεν οἱ ἐκ μή ὄντων, δι᾽Αὐτοῦ τό εἶναι λαβόντες καί ὑπερυψοῦμεν εἰς πάντας τούς αἰῶνας.

Ὑπεραγία Θεοτόκε.......

Ἡ τῆς στειρώσεως μεταβολή, τήν κοσμικήν τῶν ἀγαθῶν διέλυσε στείρωσιν, καί τρανῶς τό θαῦμα, Χριστόν ὑπέδειξε βροτοῖς ἐπιδημήσαντα· Ὃν ὑμνοῦμεν οἱ ἐκ μή ὄντων, δι᾽Αὐτοῦ τό εἶναι λαβόντες καί ὑπερυψοῦμεν εἰς πάντας τούς αἰῶνας.

Τῶν Μαρτύρων. " Λυτρωτά τοῦ παντός "

Μάρτυρες τοῦ Χριστοῦ.........

Στομωθεῖσαι ἀγάπῃ τοῦ Κτίσαντος, ἀπημβλύνατε κέντρα τοῦ ὄφεως· ἐν γυναικείῳ σώματι, ἀνδρικούς διανύουσαι τούς ἀγῶνας, καί στεφάνοις ἐνθέοις στεφόμεναι.

Μάρτυρες τοῦ Χριστοῦ.....

Συμπλακεῖσαι ἐν μέσῳ τοῦ σκάμματος, ἀοράτοις ἐχθροῖς μετά σώματος, τούς ἀσωμάτους ἔτρεψαν αἱ θεόφρονες Κόραι ἀναβοῶσαι· Εὐλογεῖτε τά ἔργα τόν Κύριον.

Μάρτυρες τοῦ Χριστοῦ.....

Ἐν Θεῷ τῷ Σωτῆρι νευρούμεναι, ἐν Χριστῷ Ἰησοῦ δυναμούμεναι, τό τοῦ ἐχθροῦ ἀνίσχυρον διωλέσατε κράτος, ἀναβοῶσαι. Εὐλογεῖτε τά ἔργα τόν Κύριον.

www.tezaurliturgic.ro

Μάρτυρες τοῦ Χριστοῦ......

Βασιλείας τῆς Ἄνω ἐτύχετε, σύν Χριστῷ Ἰησοῦ Βασιλεύουσαι· πεποικιλμέναις στίγμασι, τῶν βασάνων τῷ κάλλει διηνθισμέναι, ἀξιάγαστοι Κόραι Νεάνιδες.

Ὑπεραγία Θεοτόκε.......

Ὡς Θεοῦ ἀκηλίδωτον Τέμενος, ὑπεδέξω Αὐτόν σωματούμενον· καί ἐν δυσί ταῖς φύσεσι γνωριζόμενον Κόρη, ᾧ μελῳδοῦμεν· Εὐλογεῖτε τά ἔργα τόν Κύριον.

Ἕτερος. " Ἑπταπλασίως κάμινον "

Μάρτυρες Χριστοῦ.......

Ὑπομονήν ἀσύγκριτον, καρτερίαν πανθαύμαστον καί ὑπερφυῆ ἀνδρείαν ἐνδειξάμεναι, ἐχθρόν κατεβάλλετε, τούς δέ πιστούς εὐφράνατε Μάρτυρες σεμναί, ἐν ὁμονοίᾳ βοῶσαι· οἱ Παῖδες Εὐλογεῖτε, Ἱερεῖς ἀνυμνεῖτε, λαός ὑπερυψοῦτε εἰς πάντας τούς αἰῶνας.

Μάρτυρες τοῦ Χριστοῦ........

Σεσοβημένος ἔμεινεν ὁ παράφορος τύραννος, τῆς ὑμῶν συμπνοίας κατιδών τήν ἔνστασιν, δι'ἧς ἀγαλλόμεναι, τῶν ἐκισμῶν τήν ἔφοδον ὡς ἀναψυχήν προσκαρεῖτε καί δόξαν θεόφρων Μητροδώρα, Μηνοδώρα τρισμάκαρ σύν τῇ Νυμφοδώρᾳ, Αὐτάδελφοι Παρθένοι.

Μάρτυρες τοῦ Χριστοῦ......

Γνώσεως θείας ἔλαμψεν Μητροδώρα πλουτήσασα, ὡς ἀκτίς ἀστράπτεις Μαρτυρίου σκάμμασι· λαμπάδων τήν ἔκκαυσιν, ὡς δρόσον θείαν φέρουσα, καί καθάπερ βότρυς τοῖς μοχλοῖς συνθλιβεῖσα, ἀπέσταξας πλουσίως θεογνωσίας οἶνον τοῖς πόθῳ εὐλογοῦσι, Χριστόν εἰς τούς αἰῶνας.

Μάρτυρες τοῦ Χριστοῦ......

Ἐν ραβδισμοῖς ἀνένδοτοι· ἐν ξεσμοῖς, ἀπερίτρεπτοι καί λοιποῖς βασάνοις ὤφθητε ἀήττητοι· διό κατερράξατε τῆς πλάνης πᾶσαν δόμησιν, καί θεοσεβείας σεαυτούς στήλας ἐγείρατε ἐνθέως, Μηνοδώρα ἡ Μάρτυς σύν τῇ Νυμφοδώρα, Χριστόν ὑπερυψοῦσαι.

Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Ράβδος Σε προτυπώσασα Ἀαρών Μητροπάρθενε, τήν Σήν ὑπέρ λόγου κύ-

www.tezaurliturgic.ro

ησιν ἐσήμανε· Σύ γάρ ἀπεκύησας τόν ἐκ Πατρός ἐκλάμψαντα, σάρκα ἐκ τῶν Σῶν ἀνειληφότα αἱμάτων. Ὅν Παῖδες ἀνυμνοῦσιν, Ἱερεῖς εὐλογοῦσι, λαοί ὑπερυψοῦσιν εἰς πάντας τούς αἰῶνας.

Ὠ δ ή θ΄. Τῆς Θεοτόκου.

Ο ΕΙΡΜΟΣ " ἄνευ στίχου "

Ἡ τόν πρό ἡλίου φωστῆρα, τόν Θεόν ἐξανατείλαντα· σωματικῶς ἡμῖν ἐπιδημήσαντα, ἐκ λαγόνων Παρθενικῶν ἀφράστως σωματώσασα· Εὐλογημένη Πάναγνε, Σέ Θεοτόκε μεγαλύνομεν.

Ὑπεραγία Θεοτόκε.......

Ὁ τοῖς ἀπειθοῦσι λαοῖς, ἐξ ἀκροτόμου βλύσας νάματα· τοῖς εὐπειθοῦσιν ἔθνεσι χαρίζεται ἐκ λαγόνων στειρωτικῶν, καρπόν εἰς εὐφροσύνην ἡμῖν, Σέ Θεομῆτορ Ἄχραντε, ἥν ἐπαξίως μεγαλύνομεν.

Ὑπεραγία Θεοτόκε.......

Τήν τῆς ἀποτόμου ἀρχαίας ἀναιρέτην ἀποφάσεως· καί τῆς Προμήτορος τήν ἐπανόρθωσιν τήν τοῦ γένους, τῆς πρός Θεόν αἰτίαν οἰκειώσεως, τήν πρός τόν Κτίστην γέφυραν, Σέ Θεοτόκε μεγαλύνομεν.

Τῶν Μαρτύρων. " Λίθος ἀχειρότμητος "

Μάρτυρες τοῦ Χριστοῦ........

Ἰδεῖν ἀφιέμεναι κάλλος τό τοῦ Νυμφίου, ὁλοτρόπῳ νεύσει πρός Αὐτόν θεοφόροι, ἀθανασίαν ἐμελετήσατε ἐν τῷ θνητῷ τοῦ σώματος, ὅθεν ἀξίως μακαρίζεσθε.

Μάρτυρες τοῦ Χριστοῦ........

Ὤφθητε τυράννων ἐν μέσῳ, οἷά περ λύκων ὠμοτάτων ἄσπιλοι Ἀμνάδες· τήν τούτων θηριωδίαν καταπαλαίουσαι καί τῷ Χριστῷ εὐπρόσδεκτα,ὡς Ἱερεῖα προσαγόμεναι.

Μάρτυρες τοῦ Χριστοῦ......

Στέφος ἀνεπλέξασθε ἅμα, μή παλαιούμενον Παρθένοι, θείας ἐπετύχετε δόξης· καί Βασιλείαν ὄντως ἀσάλευτον παραλαβεῖν, ὡς Μάρτυρες μετά Μαρτύρων ἠξιώθητε.

www.tezaurliturgic.ro

Μάρτυρες τοῦ Χριστοῦ........

῏Ης κατηξιώθητε δόξης καί ἐπετύχετε χορείας· τούς ἐπιτελοῦντας ἐκ πόθου ὑμῶν τήν μνήμην, τυχεῖν πρεσβεύσατε, ὡς παρρησίαν ἔχουσαι πρός τόν Δεσπότην, σεμνοπάρθενοι.

Ὑπεραγία Θεοτόκε........

Φεῖσαί μου Χριστέ ὅταν ἔλθῃς, κρῖναι τόν κόσμον μετά δόξης· λῦσον τήν ἀχλύν τῶν παθῶν μου, ταῖς ἱκεσίαις τῆς κυησάσης Σε, καί τῶν σεπτῶν Μαρτύρων Σου, ὡς Ἀγαθός καί Πολυέλεος.

Ἕτερος. " Ἐξέστη ἐπί τούτῳ ὁ οὐρανός"

Μάρτυρες τοῦ Χριστοῦ.......

Αἱμάτων ταῖς ρανίσι τῶν Ἱερῶν, φωταυγῆ ἁλουργίδα φοινίξασαι· τῷ Βασιλεῖ τῷ προαιωνίῳ μετά χαρᾶς, παρέστητε πανεύφημοι, οἷα περ Παρθένοι θεοειδεῖς καί θεῖαι Ἀθληφόροι· ἀδελφικῇ ἑνώσει περιφανῶς καλλωπιζόμεναι.

Μάρτυρες τοῦ Χριστοῦ......

Στιγμάτων τῶν ὡραίων τάς ἀστραπάς, καί πληγῶν ζωηφόρων τάς χάριτας ὡς ἀληθῆ· κόσμον περιφέρουσαι εὐπρεπῶς, Μαρτυρικῆς φαιδρότητος, καί τῆς Τρισηλίου μαρμαρυγῆς· καί δόξης αἰωνίου μετέσχετε ἐνθέως, Παρθενομάρτυρες Αὐτάδελφοι.

Μάρτυρες τοῦ Χριστοῦ.....

Ἰάματα ὡς νάματα καθαρά. τά σεπτά καί πολύαθλα σώματα Ὑμῶν, ἀεί βρύουσι τῷ κόσμῳ ὑπερφυῶς· καί τάς ψυχάς καθαίρουσι καί σωμάτων παύουσι τάς πληγάς· τῶν πίστει προσιόντων καί φόβῳ ἁπτομένων, Παρθενομάρτυρες Αὐτάδελφοι.

Μάρτυρες τοῦ Χριστοῦ.......

Μαρτύρων ταῖς ἀγέλαις ἐν οὐρανοῖς καί Παρθένων τοῖς δήμοις συνήφθητε καί εὐκλεεῖς Μάρτυρε, τοῦ πάντων Δημιουργοῦ· καί ὡς ἁγναί καί ἄμωμοι, κάλλει διαλάμπουσαι ἀρετῶν. καί φέρουσαι ἐν πίστει λαμπάδας τάς Ἁγίας, Παρθενομάρτυρες Αὐτάδελφοι.

Δόξα Πατρί.........

www.tezaurliturgic.ro

Ὁ χείλεσιν ἀνάγνοις καί ρυπαροῖς καί καρδία δυσώδει τοῖς πάθεσι τούς καθαρούς ὑμῶν πόνους, μέλισμα εὐαγές, ἐπιχειρήσας ἥττημαι, τούτων τῷ μεγέθει καί τῷ φωτί· διό τήν πρόθεσίν μου, προσδέξασθε αἰσίως καί φωτισμόν μοι χορηγήσατε.

Καί νῦν.......

Ὑπέρτερος ὁ Τόκος Σου λογισμῶν καί νοήσεως πάσης ἐπέκεινα· Σύ γάρ Ἁγνή τέτοκας τόν πάντων Δημιουργόν· Τόν τάς Παρθενομάρτυρας δείξαντα ἐν πᾶσι φωτοφανεῖς· Χριστόν τόν Φωτοδότην, Ὅν αἴτησαι φωτίσαι, τήν σκοτισθεῖσαν μοι διάνοιαν.

ΑΙ ΚΑΤΑΒΑΣΙΑΙ

Ἐξαποστειλάριον

Ἦχος γ'. Φῶς ἀναλλοίωτον Λόγε

Αἱ τρεῖς Παρθένοι Τριάδα θεόν ἀφράστως ποθοῦσαι· κηρύττουσι τῶν τυράννων ἐνώπιον διά τοῦτο· βασανισθεῖσαι τοῦ στέφους τυγχάνουσι τοῦ ἀφθάρτου.

Ἕτερον Ἦχος β'. Γυναῖκες ἀκουτίσθητε

Χορείαν τήν τρίπλοκον τῶν Ἀθληφόρων μέλψωμεν· σύν Μηνοδώρα τῇ θεία, τήν εὐκλεῆ Μητροδώραν· καί Νυμφοδώρα ᾄσμασι, τά τοῦ Χριστοῦ ἐκλόγια καί θεῖα ἀναθήματα, ἐν ἀκραιφνῆ ἁρμονία, τῶν Θεοδότων ἐπάθλων.

Τῆς Θεοτόκου. Ὅμοιον.

Ἀδάμ ἀνακαινίσθητι καί Εὔα μεγαλύνθητι· Προφῆται σύν Ἀποστόλοις χορεύσατε καί Δικαίους· κοινή χαρά ἐν τῷ κόσμῳ, Ἀγγέλων τε καί ἀνθρώπων· ἐκ τῶν Δικαίων σήμερον, Ἰωακείμ καί τῆς Ἄννης, Γεννᾶται ἡ Θεοτόκος.

ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ

Ἱστῶμεν Στίχους δ'. καί ψάλλομεν
Στιχηρά Προσόμοια.

Ἦχος α'. Τῶν Οὐρανίων Ταγμάτων

www.tezaurliturgic.ro


Στίχος: Αἰνεῖτε Αὐτόν ἐπί ταῖς δυναστείαις Αὐτοῦ· αἰνεῖτε Αὐτόν κατά τό πλῆθος τῆς μεγαλωσύνης Αὐτοῦ.

Τῶν Αὐταδέλφων Παρθένων καί Ἀθληφόρων Χριστοῦ· τήν φωτοφόρον μνήμην, ἑορτάσωμεν πάντες· ἰδού γάρ ἐπεδήμησε κόσμῳ παντί, ὥσπερ ἥλιος πάμφωτος· καί δαδουχεῖ ταῖς ἀΰλοις μαρμαρυγαῖς, Οἰκουμένης τά πληρώματα.

Στίχος. Αἰνεῖτε Αὐτόν ἐν ἤχῳ σάλπιγγος, αἰνεῖτε Αὐτόν ἐν ψαλτηρίῳ καί κιθάρα

Ἡ συντριβή τῶν μελῶν σου Μάρτυς τήν ἕνωσιν· τήν ἄρρητον καί θείαν, ἐν Χριστῷ Μηνοδώρα· ὡς οὔσης θεῖον μέλος καί ἐκλεκτόν, Ἐκκλησίας τῆς "Ανωθεν" Σοί ἐπροξένησε πάσης φθοροποιοῦ, συναφείας σε χωρίσασα.

Στίχος. Αἰνεῖτε Αὐτόν ἐν τυμπάνῳ καί χορῷ· αἰνεῖτε Αὐτόν ἐν χορδαῖς καί ὀργάνῳ.

Ἐπί τοῦ ξύλου ὡς Νύμφη αἰωριθεῖσα Χριστοῦ· τάς τῶν λαμπάδων φέρεις, Μητροδώρα ἐκκαύσεις· ἐντεῦθεν λαμπρυνθεῖσα Μαρτυρικῶς, μετά δόξης ἀνέδραμες· πρός οὐρανίους σκηνώσεις ἔνθα τό Σόν ἀναγέγραπται πολίτευμα.

Στίχος. Αἰνεῖτε Αὐτόν ἐν κυμβάλοις εὐήχοις· αἰνεῖτε Αὐτόν ἐν κυμβάλοις ἀλλαλαγμοῦ· Πᾶσα πνοή αἰνεσάτω τόν Κύριον.

Τῶν αἰκισμῶν τάς νιφάδας καθάπερ ρόδα τερπνά· θεόφρον Μηνοδώρα, ταῖς χερσί σου κρατοῦσα· παρέστης τῷ τῶν ὅλων Δημιουργῷ, ὡς φαιδρά καί ἀκήρατος· κομιζομένη καμάτων τάς ἀμοιβάς, καί φρουροῦσα τούς τιμῶντας σε.

Δόξα... Ἦχος πλ. β΄.

Σήμερον, ἡ προφητική κινύρα, κρουομένη τῷ πνεύματι, ἐν ἀγαλλιάσει βοάτω. Ἰδού δή τί καλόν ἤ τί τερπνόν, ἀλλ'ἤ τῷ κατοικεῖν ἀδελφούς ἐπί τό αὐτό. Αἱ γάρ ἐκ μιᾶς ρίζης βλαστήσασαι Παρθένοι, εἰ καί τοῖς σώμασι διΐστανται, ἀλλ'ἕν φρόνημα ἔνθεον, ἐν τρισί ψυχαῖς ἐτιθηνήσαντο. Ὅθεν ἐν ἑνί στόματι, τήν τοῦ Χριστοῦ ὁμολογίαν τρανώσασαι, τάς οὐρανίους οἰκήσεις, ὡς ὁμοίμωγες ἐν πᾶσι γνήσιαι, πίστει ἐκληρώσαντο. Ἀλλ'ὦ Παρθένων καί Μαρτύρων σύμφοιτοι, Μητροδώρα σύν

www.tezaurliturgic.ro

Μηνοδώρα καί Νυμφοδώρα, αἰτήσασθε ταῖς ψυχαῖς ἡμῶν, ὁμόνοιαν εἰλικρινῆ παρά Χριστοῦ, τοῦ τῆς εἰρήνης Ἄρχοντος.

Καί νῦνννν Τῆς Θεοτόκου. Ὁ Αὐτός.

Αὕτη ἡμέρα Κυρίου, ἀγαλλιᾶσθε λαοί· ἰδού γάρ τοῦ Φωτός ὁ Νυμφών καί ἡ Βίβλος τοῦ Λόγου τῆς Ζωῆς, ἐκ γαστρός προελήλυθε· καί ἡ κατά Ἀνατολάς πύλη ἀποκυηθεῖσα, προσμένει τήν εἴσοδον, τοῦ Ἱερέως τοῦ Μεγάλου· μόνη καί μόνον εἰσάγουσα Χριστός είς τήν Οἰκουμένην, πρός Σωτηρία τῶν ψυχῶν ἡμῶν.

Δοξολογία Μεγάλη καί τό

Ἀ π ο λ υ τ ί κ ι ο ν

Ἦχος πλ.α΄ Τόν Συνάναρχον Λόγον.

Τόν τρισάριθμον Σύλλογον καί θεόπλοκον· τῶν Αὐταδέλφων Παρθένων στέψωμεν θείαις ᾠδαῖς· ἀνδρικῶς γάρ τόν ἐχθρόν κατετροπώσαντο· ὅθεν προΐστανται ἡμῶν,τῶν βοώντων ἐκτενῶς, χαῖρε σεμνή Μηνοδώρα· σύν Μητροδώρα τῇ θείᾳ καί Νυμφοδώρα τῇ θεόφρονι.

ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Τά Ἀντίφωνα τῆς Ἑορτῆς.Μετά τήν εἴσοδον, τό Ἀπολυτίκιον τῶν Ἁγίων, τῆς Ἑορτῆς καί τοῦ Ἁγίου Ναοῦ.
Κοντάκιον: Τῆς Ἑορτῆς.
Ἀπόστολος: Ζήτει τῷ Σαββάτῳ τῆς ιβ΄ ἑβδομάδος, δευτέρας περιόδου Ἐπιστ. Παύλου.
Εὐαγγέλιον: Ἐκ τοῦ κατά Ματθ. Ζήτει τῇ τετάρτῃ τῆς γ΄ ἑβδομάδος Ματθαίου.

Μ ε γ α λ υ ν ά ρ ι α

Χαίροις τῶν Παρθένων, τριάς σεπτή· Μηνοδώρα Μάρτυς, Μητροδώρα πανευκλεής· σύν τῇ Νυμφοδώρᾳ, τῇ Οὔσῃ μακαρία. Τριάδος τῆς Ἁγίας, εὔηχα στόματα.

Ἡ τῶν Αὐταδέλφων, θεία τριάς· Παρθενίας κάλλει, διαπρέψασα εὐπρεπῶς· ταῖς τοῦ Μαρτυρίου, λαμπραῖς ἀνδραγαθίαις, Τριάδα τήν Ἁγίαν, κόσμῳ ἐδόξασε.

www.tezaurliturgic.ro

Χαίροις Μηνοδώρα θεοειδής· Χαίροις Μητροδώρα, ἀπερί-
τρεπτε ἐν ποιναῖς· Χαίροις Νυμφοδώρα, ἡ τοῦ Σωτῆρος
Νύμφη· Τριάδος τῆς Ἁγίας, Κόραι ἰσάριθμαι.

Κοινωνικόν: Εἰς μνημόσυνον αἰώνιον, ἔσονται Δίκαιοι.
'Αλληλούϊα.

Δίστιχον

Δέχου ὡς δῶρον τριὰς ἡ τῶν Παρθένων
Ὁ Σοί Γεράσιμος μέλισμα προσάδει.

ΤΕΛΟΣ ΚΑΙ ΤΩ ΘΕΩ ΔΟΞΑ

-.-.-.-.-.-.-